φαμὶ τὸν ἐκ πάντων ἠθροισμένον εἰς ἕνα μόχθον
ὑμνοθετᾶν βύβλῳ τᾷδ' ἐνελιξάμενον
ἐκτελέσαι Μελέαγρον, ἀείμνηστον δὲ Διοκλεῖ
ἄνθεσι συμπλέξαι μουσοπόλων στέφανον.
οὖλα δ' ἐγὼ καμφθεῖσα δρακοντείοις ἴσα νώτοις
σύνθρονος ἵδρυμαι τέρμασιν εὐμαθίας.

## CXXX

— εἶπον ἀνειρομένῳ τίς καὶ τίνος ἐσσί. Φ. Φίλαυλος
Εὐκρατίδεω. — ποδαπὸς δ' εὔχεαι ⟨ ⟩
— ἔζησας δὲ τίνα στέργων βίον; Φ. οὐ τὸν ἀρότρου
οὐδὲ τὸν ἐκ νηῶν, τὸν δὲ σοφοῖς ἕταρον.
— γήραϊ δ' ἢ νούσῳ βίον ἔλλιπες; Φ. ἤλυθον Ἅιδην
αὐτοθελεί, Κείων γευσάμενος κυλίκων.
— ἦ πρέσβυς; Φ. καὶ κάρτα. — λάβοι νύ σε βῶλος ἐλαφρή
σύμφωνον πινυτῷ σχόντα λόγῳ βίοτον.

## CXXXI

εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται
καὶ Σκυθικῶν τόξων ἀκροβολεῖς ἀκίδας,
φεύξομ', Ἔρως, ὑπὸ γᾶν σε· τί δὲ πλέον; οὐδὲ γὰρ αὐτός
σὰν ἔφυγεν ῥώμαν πανδαμάτωρ Ἀίδας.